οὐκ ἔλαβεν αὐτὴν οὐδὲ εἷϲ τῶν βαρβάρων.
ὁ δ' ἡγεμὼν ἡμῶν ὁ χρηϲτὸϲ καθ' ἕνα μὲν
κάειν ἐκώλυϲεν διατριβὴν ἐϲομένην
ὁρῶν ἑκάϲτοιϲ ὀϲτολογῆϲαι, ϲυναγαγὼν
πάνταϲ δ' ἀθρόουϲ ἔκαυϲε, καὶ ϲπουδῆι πάνυ
θάψαϲ ἀνέζευξ' εὐθύϲ· ἡμεῖϲ τ' εἰϲ Ῥόδον
διεπίπτομεν τὸ πρῶτον, εἶτ' ἐκεῖ τιναϲ
μείναντεϲ ἡμέραϲ ἐπλέομεν ἐνθάδε.
ἀκήκοάϲ μου πάντα.
(Ϲμ.) χρυϲοῦϲ φὴιϲ ἄγειν
ἑξακοϲίουϲ;
(Δα.) ἔγωγε.
(Ϲμ.) καὶ ποτήρια;
(Δα.) ὁλκὴν ἴϲωϲ μνῶν τετταράκοντ', οὐ πλείονοϲ,
κληρονόμε.
(Ϲμ.) πῶϲ; οἴει ⟨μ'⟩ ἐρωτᾶν, εἰπέ μοι,
διὰ τοῦτ'; Ἄπολλον. τἆλλα δ' ἡρπάϲθη;
(Δα.) ϲχεδὸν
τὰ πλεῖϲτα, πλὴν ὧν ἔλαβον ἐξ ἀρχῆϲ ἐγώ.
ἱμάτι' ἔνεϲτ' ἐνταῦθα, χλαμύδεϲ· τουτονὶ
τὸν ὄχλον ὁρᾶιϲ οἰκεῖον.
⟨Ϲμ.⟩ οὐθέν μοι μέλει
τούτων· ἐκεῖνοϲ ὤφελε ζῆν.
(Δα.) ὤφελε.
παράγωμεν εἴϲω τὸν ταλαίπωρον λόγον
ἀπαγγελοῦντεϲ τοῦτον οἷϲ ἥκιϲτα χρῆν.
(Ϲμ.) εἶτ' ἐντυχεῖν βουλήϲομαί τι Δᾶέ ϲοι
κατὰ ϲχολήν· νυνὶ δὲ καὐτόϲ μοι δοκῶ
εἴϲω παριέναι ϲκεψόμενοϲ τίν' ἂν τρόπον
τούτοιϲ προϲενεχθείη τιϲ ἡμερώτατα.